Γεωργίου τοῦ Κεδρηνοῦ: Σύνοψις Ἱστοριῶν σ. 697

Τῷ Ι'. ἔτει (τοῦ βασιλέως Μαυρικίου) τοῦ χαγάνου ἐπελθόντος ~~ἐπὶ τὸ~~ κατὰ τὸ Σίρμιον, ὁ βασιλεὺς στρατηγὸν Εὐρώπης τὸν Πρίσκον χειροτονεῖ.

ὁ δὲ Πρίσκος ~~Σαλβιανὸν~~ Σαλβιανὸν ὑποστράτηγον ποιήσας προτρέχειν ἐκέλευσε, καὶ κατὰ τῶν βαρβάρων χωρήσαντες συγκροτοῦσι πόλεμον καὶ νικῶσι Ῥωμαῖοι.

ὁ δὲ χαγάνος τοῦτο ἀκηκοώς, ἀναλαβὼν τὰς δυνάμεις ἐχώρει πρὸς πόλεμον, καὶ εἰς Ἀγχίαλον ἐλθὼν ταύτην κατέκαυσε.

εἶτα εἰς τὸ Δριζὶν περᾶ.

ὁ δὲ Πρίσκος μὴ θέλων τὸ πλῆθος θεωρεῖν τῶν βαρβάρων εἰς Τζουρουλὸν εἰσελθὼν ἠσφαλίσατο.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὁ δὲ βάρβαρος τὸν Πρίσκον πολιορκεῖν ἐπεχείρει.

Ταῦτα δὲ ἀκηκοὼς Μαυρίκιος διηπόρει τί δράσει· εὐβουλίᾳ δὲ καταστρατηγεῖ τῆς ἀπείρου δυνάμεως, καὶ ἕνα τῶν ἐξκουβιτόρων μεγάλαις δωρεαῖς καὶ ὑποσχέσεσι πείθει ἑκόντι περιπεσεῖν τοῖς βαρβάροις, καὶ δίδωσιν αὐτῷ πρὸς Πρίσκον γραφὴν περιέχουσαν τάδε

« τῷ ἐνδοξοτάτῳ στρατηγῷ Πρίσκῳ.

« τὴν ἀλιτηρίαν τῶν βαρβάρων ἐγχείρησιν μὴ δειλιάσῃς· πρὸς γὰρ ἀπώλειαν αὐτῶν τοῦτο γέγονε. γίνωσκε γὰρ ὅτι μετὰ πολλῆς αἰσχύνης ἔχει ὁ χαγάνος ὑποστρέψαι εἰς τὴν ἀφιερωθεῖσαν αὐτῷ ὑπὸ παρὰ Ῥωμαίων χώραν. Διὰ τοῦτο καρτερησάτω ἡ σὴ ἐνδοξότης ἐν τῷ Τζουρουλῷ περιμένουσα αὐτούς. Πέμπω γὰρ διὰ θαλάσσης πλοῖα, καὶ αἰχμαλωτίζονται τὰς φαμιλίας αὐτῶν, καὶ ἀναγκάζεται μετ' αἰσχύνης καὶ ζημίας εἰς τὰ ἴδια ὑποστρέψαι ».

(ἀκολουθεῖ)

2 339 340

ὁ δὲ χαγάνος κρατήσας τὰ γράμματα καὶ ἀναγνοὺς γίνεται περιδεής, [συνθήκας πρὸς τὸν Πρέσιαν διαθέμενος] εἰρηνεύσας ἐπὶ [δώροις ὀλίγοις] [ἀναξιολόγοις εἰς τὴν ἑαυτοῦ] ἐπανέζευξε γῆν μετὰ φυγῆς κραταιᾶς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ